C. Bl. IV. 104

9

)

# ΣΥΜΦΙΛΟΛΟΓΙΑ

ΠΕΡΙ

# ΤΩΝ ΤΑΣΚΟ-ΔΡΟΥΓΙΤΩΝ

ΕΝ ΤΗι ΚΑΤΑ ΠΑΛΑΙΚΩΜΗΝ ΑΚΑΔΗΜΙΑι
ΤΕΤΑΡΗι ΙΣΤΑΜΕΝΟΥ ΜΗΝΟΣ ΠΟΣΕΙΔΕΩΝΟΣ
ΕΤΕΙ ΘΕΟΓΟΝΙΑΣ ,αψιε ΠΑΡΑΣΚΕΥΑ-
ΣΘΗΣΕΤΑΙ

## ΠΡΟΣΤΑΤΟΥΝΤΟΣ

## ΧΡΙΣΤΟΦΟΡΟΥ ΣΩΝΝ-ΤΑΓΙΟΥ

ΤΗΣ ΘΕΟΛΟΓΙΑΣ ΤΕ ΚΑΙ ΕΛΛΗΝΙΚΗΣ ΓΛΩΤΤΗΣ
ΔΙΔΑΣΚΑΛΟΥ ΚΑΙ ΠΡΩΤΕΚΚΛΗΣΙΑΣΤΟΥ,

ΚΑΙ ΘΕΣΙΝ ΦΥΛΑΤΤΟΝΤΟΣ

## ΑΜΒΡΟΣΙΟΥ ΣΧΕΥΜΑΙΔΗΡΟΥ,

ΤΟΥ ΝΩΡΙΚΟΥ.

---

ΕΚ ΤΗΣ ΧΑΛΚΟΓΡΑΦΙΑΣ ΤΟΥ ΚΩΛΗΣΙΟΥ,
ΑΚΑΔ. ΤΥΠΟΓΡΑΦΟΥ.

(1715.)

Ad Bibl. Acad. Land.

Universitäts Bibliothek München

Περὶ

# ΤΩΝ ΤΑΣΚΟΔΡΟΥΓΙΤΩΝ.

α.

Οἱ Τασκοδρουγῖται ἐκλήθησαν καὶ Ἀσκοδρουγῖται, Ἀσκόδρουγοι, Ἀσκόδροβοι, Ἀσκοδροῦτοι καὶ Ἀσκοδρουπῖται. Ἐπωνυμίαν δὲ ταύτην ἔχουσιν ἀπὸ τοῦ Τασκοῦ, τοῦτ' ἐστι Πασσάλου, καὶ ἀπὸ τοῦ Δρούγγου, τοῦτ' ἐστι μυκτῆρος ἢ ῥύγχους. Ἐτυμολογία δὲ ἐγένετο τοιαύτη, κατ' Ἐπιφάνιον, ὅτι ἔθηκαν ἑαυτῶν τὸν δάκτυλον ἐπὶ τὸν μυκτῆρα, τὸν δάκτυλόν φημι τὸν λεγόμενον λιχανὸν, ἐν τῷ εὔχεσθαι, δῆθεν κατηφείας χάριν καὶ ἐθελοδικαιοσύνης. Στρυφνοὶ γὰρ καὶ ὀμφακίαι καὶ τὸ σπάνιον τοῦ ὀνόματος φιλοῦσι, κἂν ἀλλόκοτον τύχοι, καὶ ὄνομα γένοιτο σύμβολον καὶ χαρακτὴρ τῶν ἐν ψυχῇ παθημάτων.

β.

Ἐκλήθησαν δὲ παραπλησίως Πατταλορυγχῖται, δηλαδὴ ἀπὸ τοῦ πατάλου καὶ τοῦ ῥύγχους, ὅ ἐστι τὸ ῥάμφος, ἤγουν κατ' ἄλλους ἀπὸ τῆς ῥινός. Εἰώθασι γὰρ πρεσβείαν ἑαυτῶν πρεσβεύειν ἐν σιωπῇ καὶ ἐχεμυθίᾳ. Ἀνθ' ὧν καὶ τοὺς δακτύλους καὶ τοὺς πατάλους τῇ τε ῥινὶ τῷ τε στόματι προσέθηκαν ἐμπηγνύοντες, εἰς τὸ μὴ δύνασθαι λαλεῖν, μηδὲ πώποτε ἐν τῇ δεήσει μηδὲν ῥῆμα ἐκπροφωνεῖν. Τοιαύτης αἰτίας χάριν καὶ Ἐχέμυθοι ἢ Σιγητικοὶ προσηγορεύθησαν. Κατὰ Λουκιανὸν τὸ ἀψίκορον καὶ φιλόκαινον τῇ φύσει πᾶσιν ἀνθρώποις ἐνυπάρχει. Τῶν γὰρ Ἀθηναίων δίκην εἰς οὐδὲν ἕτερον εὐκαιροῦμεν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον. Ἄλλη τις πέφυκεν ἡ σιωπὴ εὐκτικὴ τῶν ἐν Λαοδικείᾳ, κατὰ Σύνοδον τῆς ἐν Λαοδικείᾳ κανόνι δεκάτῳ καὶ ἐννάτῳ.

γ.

Οὐ μὴν ἀλλὰ ἐβουλήθησαν τόδε τὸ ἔθος καὶ ταύτην τὴν διδασκαλίαν ὑπερασπίζειν οἱ Τασκοδρουγῖται τῷ ψαλμῳδικῷ ἐντάλματι ρμά, στίχῳ γ'. Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. Ὢ ματαιότης ματαιοτήτων καὶ πάντα ματαιότης! Οὔτε γὰρ νοητέον, τὸν Δαβὶδ φθέγξασθαι περὶ φραγμοῦ σωματικοῦ, ἀλλὰ πνευματικοῦ. Παντελῶς γε ἀνιαρὸν τὸ τοὺς ἀνθρώπους πάντας τῇ φύσει εἶναι σοφιστικοὺς, καὶ ἀπὸ τῆς ἐλλείψεως εἰς τὴν ὑπεροχὴν μετατρεπτικοὺς, μᾶλλον δὲ γελοιαστὰς καὶ σκωπτικοὺς ἀλλήλων. Οὔτε γὰρ τὴν ἀθυροστομίαν, οὔτε τὸ τῆς ἐχεμυθίας συνεχὲς καὶ ἄκαιρον ἐπαινετέον. Μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον, κατὰ τὸ Πυθαγόρειον, τὸ ἐν ἔπεσι χρυσοῖς ᾀδόμενον.

δ.

Τί φατέον; Καλοῦνται καὐτοὶ καὶ σύζυγοι αὐτῶν Μοντανισταὶ, Φρυ-

Φρυγασταί, Κυϊντιλλιανοί, Πρισκιλλιανοί, Πεπουζιανοί, Πνευματικοί, Κατάφρυγες, οἷοί τινες ἐγένοντο Θεόδοτος, Ἀλκιβιάδης, Θεμίσων, Πάτροκλος, Ἀρτεμών, Ἀλέξανδρος, καὶ ὁμόφρονες ἄλλοι. Καὶ ὁ μὲν Μοντανὸς ἅγιον τὸ Πνεῦμα, τὸν Παράκλητον, ἑαυτὸν ἐπωνόμασεν· οἱ δὲ λοιποὶ ἀλάστορες, ὡς ἀπόῤῥωξ, ὑπ' αὐτοῦ ἐξεβλάστησαν. Καθάπερ ἐν Ὕδρᾳ τῇ Λερναίᾳ, τέρατι πολοκεφάλῳ, ἀποτμηθείσης κεφαλῆς μιᾶς, ἡ θατέρα ηὔξησεν· οὕτω, γενομένου ἑνὸς τοῦ αἱρετικοῦ καὶ σχισματικοῦ, πλείονες ἐπιφύεσθαι εἰώθασι, καίπερ ἑνὸς ἀφαιρεθέντος, ἀθετηθέντος καὶ καταργηθέντος.

ε.

Τί δὲ φρικτότερον τοῦ βδελύγματος, ὃ ἐβδέλυξαν οἱ φιλοτοιοῦτοι; Παῖδα γὰρ κομιδῇ νήπιον καθ' ἑορτήν τινα δι' ὅλου τοῦ σώματος καταχεντῶντες ῥαφίσι χαλκαῖς τὸ αἷμα αὐτοῦ προσπορίζονται ἑαυτοῖς εἰς ἐπιτήδευσιν δῆθεν θυσίας. Ἐοικότες τοιγαροῦν τῇ αἱμοῤῥοΐᾳ ἐχίδνῃ πεφύκασιν, ἧς ἡ λύμη τῶν δεδηγμένων αἷμα παντὸς τοῦ σώματος ἐκκρίνει, καὶ οὕτως εἰς τὸν θάνατον ἐμβάλλει. Κἀκεῖνο μὲν οὐ μόνον παρὰ φύσιν, ἀλλὰ καὶ ἀντὶ φύσεως ὑπὸ ζωδίου τοιούτου πράττεται.

ϛ.

Ὁμοίως δὲ τῶν Τασκοδρουγιτῶν αἵρεσις τοῦτο τὸ βλοσυρὸν ἐργάζεται ἔργον. Τοῦ νηπίου τοῦ ἀκεραίου στίζει καὶ κατακεντᾷ τὸ σῶμα, τὸ τέρεν καὶ ἁπαλόν, καὶ τὸ αἷμα ἔμφυτον ἔνθεν ἐκσπᾷ, εἰς μυσταγωγίαν ὀνόματος Χριστοῦ πάντα ἀναφέρουσα. Ἔστιν ὁ Σατανᾶς ἀνθρωποκτόνος ἀπ' ἀρχῆς, ἡδόμενος τῷ αἵματι τῶν ὑπὸ Χριστοῦ ἀγο-

ῥαθέντων διὰ τιμίου αἵματος αὐτοῦ. Ἐς ἐπιχαιρέκακος Σατανᾶς Σατανᾶό τε τέκνον.

ζ.

Ἐφάμιλλα καὶ συνῳδὰ περὶ τῶν Ἰουδαίων τινὲς γράφουσι, λέγουσι καὶ μαρτυροῦσιν, ὅτι ὀρέγονται αἵματος παίδων τῶν χριστιανῶν πρὸς σκολιὰς ἑαυτῶν λειτουργίας καὶ εἰδωλομανείας. Εἰσὶ γὰρ καὶ πεπαιδευμένοι ἄνδρες, οἱ ταύτην τὴν φάσιν καὶ δόξαν ἀπαναινόμενοι, ἐξ ὧν καὶ ὁ Οὐαγενσεῖλιος ἡμῶν ὁ Μακαρίτης ἐγένετο, πολλὰ τὸν ἀριθμὸν γράμματα εἰς τοὐναντίον χαράξας. Κρεῖττον ἐνθάδε, τὸ ἀφεκτικῶς καὶ ἐφεκτικῶς, ἢ καταφατικῶς καὶ ἀποφατικῶς διακεῖσθαι.

η.

Οὐ φανερὸν γὰρ πάνυ γίνεται, πότερον οἱ Τασκοδρουγῖται πρὸς τὴν τῆς Εὐχαριστίας χρῆσιν αἷμα τἀνθρώπινον, τῷ ἀλεύρῳ μεμιγμένον, εἰλήφασιν, αἷμά φημι τοῦ Παιδαρίου μονοετοῦς, ἀντὶ τοῦ ἄρτου καὶ οἴνου, ὅσα στοιχεῖα διέταξεν ὁ Σωτὴρ πανάγιος, καὶ ἅμ' αὐτοῖς τὸ σῶμα καὶ αἷμα αὐτοῦ τιμιώτατον. Τολμηρὸν τὸ μηχάνημα καὶ θρασύδειλον ἂν εἴη. Οὐ γὰρ τῷ τῶν ἀνθρώπων θελήματι ἐγένετο ἡ μυστηρίων διάταξις, ἀλλὰ τῇ βουλῇ καὶ ὁρισμῷ τῆς παναγίας Τριάδος.

θ.

Σύζυγοι δ' αὐτοῖς οἱ Πεπουζιανοί, Ἀρτοτυρῖται λέγονται, οἱ τὴν Εὐχαριστίαν σκολιῶς διανείμαντες, καὶ ἀντὶ τοῦ οἴνου τυρὸν προσλαβόντες. Ἡγήσαντο γάρ, τοὺς πρωτοπλάστους Θεῷ ἱερατεῦται τοὺς καρποὺς γῆς καὶ ζώων, ἐπειδὴ ἡ προσφορὰ τοῦ Ἄβελ, ἡ ἀπὸ

τῶν

τῶν προβάτων λαμβανομένη, ἀφ᾽ οὗ καὶ τυροὶ συντίθενται, αὐτοῖς συμφωνεῖν καὶ προσαρμόζειν ἐφαίνετο. Ῥαδιούργημα δὴ πονηρὸν, ἀδέσποτον, καὶ ἐπίτριπτον. Οὐαὶ τῷ σκανδαλίζοντι! Ὁ πλημμελήσας ἅπαξ, δὶς καὶ τρὶς πλημμελῶν, τὸ μέτρον ἀναπληροῖ. Τοῦτο δὲ, περὶ οὗ λέγω, σφαλερὸν καὶ ἀντίγραφον καθέστηκε δεῖπνον. Αὕτη ἡ τράπεζα δαιμονίων. Καθάπερ καὶ Ἐγκρατῖται ἢ Ὑδροπαραστάται ἐποίησαν, οἱ ἀντὶ τοῦ οἴνου τὸ ὕδωρ ἐπαγαγόντες. Οὐκοῦν, ὦ ἀβέλτεροι καὶ μωροὶ, τὸ γέννημα τῆς ἀμπέλου ἐστὶν ὕδωρ; Εἴπατέ μοι, Τίς ἐβάσκηνεν ὑμᾶς, ὦ ἀνόητοι; Τίς ἐτύφλωσεν ὑμᾶς; Ὁ Σατανᾶς γέγονεν ὑμῖν Ἀρχηγὸς καὶ πατὴρ, οὗ τὰ ἔργα ποιοῦντες τυγχάνετε.

ι.

Τίνα δὲ τασκὸν ἐν δρούγγῳ κατέχετε, ὦ Τασκοδρουγῖται; Τίνα πάτταλον, ὦ Πατταλορυγχῖται; Ὑπόκρισις δήπου ὑμετέρα τὰς ῥινὸς ἡμῶν στενοπορίας ἐπιδείκνυσιν. Ἐγένετο ἡ ῥὶν τοῖς παλαιοῖς ὄργανον σαρκασμοῦ, ὅθεν μυκτηρισμοὶ, τῷ σχήματι μᾶλλον, ἢ τῷ ῥήματι πεποιημένοι καὶ ἐπιτηδευόμενοι. Ὁ δὲ Θεὸς οὐ μυκτηρίζεται. Ὅσα γὰρ σπείρει ὁ ἄνθρωπος, ταῦτα καὶ θεριεῖ. Καὶ ὁ μὲν σπείρας ἐν σαρκὶ, θεριεῖ καὶ τὴν σάρκα. Ὁ δὲ σπείρας ἐν πνεύματι, θεριεῖ καὶ τὸ πνεῦμα.

ια.

Οὐκ ἔστιν ἀσεβέστερον οὐδὲν τοῦ πλανᾶν καὶ ἀπατᾶν προαιρεῖσθαι τὸν πανεπιστήμονα καὶ πανδαήμονα Θεόν. Τοῦτο δὲ ῥαδιούργημα μηχανῶνται οἱ ὑποκριταὶ, ἐπισκωπτόμενοι, καὶ προσποιούμενοι μὲν εὐσεβεῖς τυγχάνειν, ψευδόμενοι δὲ τὸν καρδιογνώστην κατ᾽ ἰδίαν ἑαυτῶν δοκη-

δόκησιν. Φάσκουσιν εἶναι εὐλαβεῖς, ἀλλ᾽ οὐ κατ᾽ ἀλήθειάν εἰσιν ἐξ ἐκείνης τῆς κατηγορίας. Φυλάξειεν ἡμᾶς ὁ Θεὸς ἀπὸ τῶν τερατολογιῶν τῶν Τασκοδρουγιτῶν, καὶ Πατταλορυγχιτῶν, καὶ τῶν συμψήφων, τῶντε παλαιοτέρων, καὶ τῶν νεωτέρων, καὶ ἁγιάσειεν ἐν τῇ ἀληθείᾳ. Ὁ λόγος αὐτοῦ ἐστιν ἀλήθεια. Ἀμήν.

## ΕΠΙΔΟΣΕΙΣ ΑΝΤΙ ΤΩΝ ΕΛΛΗΝΩΝ.

α) Ἡ ἐπίκλησις τοῦ Πνεύματος ἁγίου ἐν Ἐκκλησίᾳ τῇ Ἑλληνικῇ οὐκ ἄνευ ἐθελοθρησκείας καὶ δεισιδαιμονίας ἠνύθη.

β) Ἐν τῇ εὐχαριστίᾳ τὸ Πνεῦμα ἅγιον οὐχ ἥνωται τῷ οἴνῳ, τῷ ἐν ποτηρίῳ εὐλογίας ὄντι.

γ) Οὐ μετουσιάζεται ὁ ἄρτος εἰς τὸ σῶμα Χριστοῦ διὰ τῆς ἐπικλήσεως τοῦ Πνεύματος ἁγίου.

δ) Νουνεχόντως μὲν οἱ Ἕλληνες εὔχονται ἐν Λειτουργίᾳ τοῦ Διοσκόρου, τοῦ ἐν Ἀλεξανδρείᾳ Πατριάρχου· Πέμψον τὸ Πνεῦμά σου ἐπὶ τὸν ἄρτον τοῦτον, κἀπὶ τὸ ποτήριον. Οὔγε δὲ πάνυ χωρὶς δοκησισοφίας περὶ τοῦτο ἐργάζονται.

ε) Τὸ δὲ λέγειν· Ἐλθέτω Ἀρνίον, ὥστε ὁρᾶν αὐτὸ ἐν παρεμβολαῖς, ἵνα σφάξωμεν αὐτὸ, καὶ ἀγαλλιώμεθα ἐν αὐτῷ, μυσαρίαν τινὰ ἔχει. Ὁ γὰρ Χριστὸς, ἅπαξ ἐν τῷ σταυρῷ σφαγεὶς, οὐκέτι σφάττεται.

ϛ) Κακῶς ὁ Μητροφάνης ὁ Κριτόπουλος συνίστησι τοὺς Ἕλληνας, ἐφ᾽ ᾧ ταμιεύουσιν ἐκ τοῦ ἱερουργηθέντος μυστηρίου τοῖς νοσοῦσι καὶ αἰφνιδίως τὸν βίον ἐκλείπουσιν, ἵνα μηδεὶς αὐτῶν ἀπέλθῃ ἄνευ τοῦ ἐσχάτου καὶ ἀναγκαίου ἐφοδίου.